27 Πάθοϲ: ὅτι τὸ τοῦ πάθουϲ ὄνομα διχῶϲ λέγεται· ἢ γὰρ τὸ εἰϲ φθορὰν ἄγον ἢ εἰϲ τελείωϲιν. λέγεται γὰρ πάϲχειν τὸ ξύλον ὑπὸ τοῦ πυρὸϲ, ὡϲ εἰϲ φθορὰν ἀγόμενον, λέγεται πάϲχειν καὶ τὰϲ αἰϲθήϲειϲ ὑπὸ τῶν αἰϲθητῶν, ἀντὶ τοῦ τελειοῦϲθαι, καὶ ἐκ δυνάμεωϲ εἰϲ ἐνέργειαν ἄγεϲθαι. ὅτι ἐκ τῶν παθῶν τοῦ ϲώματοϲ διαβαίνει τι πρὸϲ τὴν ψυχήν· ἀλγοῦντι γὰρ ϲυναλγεῖ καὶ εὐθυμοῦντι ϲυνήδεται. ὅτι καὶ ἐμποδίζει αὐτῇ τὸ ϲῶμα τοιῶϲ ἢ τοιῶϲ διακείμενον, οὐδεὶϲ ἀγνοεῖ, ὅπερ οὐκ ἂν ἐγένετο, εἰ μὴ διέβαινεν ἀπὸ τῆϲ πρὸϲ αὐτὸ ϲχέϲεωϲ ϲυμπάθειά τιϲ ἐπὶ τὴν ψυχὴν οὕτωϲ, ὡϲ τῆϲ κοιλίαϲ τοῦ ἐγκεφάλου τῆϲ ὄπιϲθεν παθούϲηϲ τὸ μνημονευτικὸν πάϲχειν. περὶ παθῶν· ὅτι τῆϲ ψυχῆϲ μέρη τὰ ε´ αἰϲθητήρια καὶ τὸ φωνητικὸν μόριον καὶ τὸ διανοητικόν, ὅπερ ἐϲτὶν ἡ διάνοια. ἐκ δὲ τῶν ψευδῶν ἐπιγίγνεϲθαι τὴν διαϲτροφὴν ἐπὶ τὴν διάνοιαν, ἀφ᾿ ἧϲ πολλὰ πάθη βλαϲτάνειν καὶ ἀκαταϲταϲίαϲ αἴτια. ἔϲτι δὲ αὐτὸ τὸ πάθοϲ ἡ ἄλογοϲ καὶ παρὰ φύϲιν ψυχῆϲ κίνηϲιϲ ἢ ὁρμὴ πλεονάζουϲα. τῶν παθῶν τῶν ἀνωτάτω γένη τέϲϲαρα, λύπη, φόβοϲ, ἐπιθυμία, ἡδονή. δοκεῖ δὲ τὰ πάθη κρίϲειϲ εἶναι· ἥ τε γὰρ φιλαργυρία ὑπόληψίϲ ἐϲτι τοῦ τὸ ἀργύριον καλὸν εἶναι. καὶ ἡ μέθη δὲ καὶ ἡ ἀκολαϲία ὁμοίωϲ καὶ τὰ ἄλλα. καὶ τὴν μὲν εἶναι ϲυϲτολὴν ἄλογον, εἴδη δὲ αὐτῆϲ ἔλεοϲ, φθόνοϲ, ζῆλοϲ, ζηλοτυπία, ἄχθοϲ, ἐνόχληϲιϲ, ἀνοία, ὀδύνη, ϲύγχυϲιϲ. ἔλεον μὲν ὡϲ ἐπὶ ἀναξίωϲ κακοπαθοῦντι, φθόνον δὲ λύπην ἐπ᾿ ἀλλοτρίοιϲ ἀγαθοῖϲ, ζῆλον δὲ λύπην ἐπὶ τῷ ἄλλῳ παρεῖναι ὧν καὶ αὐτὸϲ ἔχει, ἄχθοϲ λύπην βαρύνουϲαν, ἐνόχληϲιν λύπην ϲτενοχωροῦϲαν καὶ δυϲχωρίαν παραϲκευάζουϲαν, ἀνοίαν λύπην ἐκ διαλογιϲμῶν μένουϲαν ἢ ἐπιτεινομένην, ὀδύνην λύπην ἐπίπονον, ϲύγχυϲιν λύπην ἄλογον, ἀποκλείουϲαν καὶ κωλύουϲαν τὰ παρόντα ϲυνορᾶν. ὅτι ἡ ἀθαναϲία τῆϲ ζωῆϲ πάθοϲ ἐϲτὶν ἢ ϲύμπτωμά τι. ὅτι δὲ πάθοϲ ἢ ϲύμπτωμά τι ἡ ἀθαναϲία τῆϲ ζωῆϲ, δειχθήϲεται ἐπὶ ὑποθέϲει τῇ ἐκ θνητοῦ ἀθάνατον γίγνεϲθαι· οὐ γὰρ μεταλήψει ἄλληϲ ζωῆϲ ἀθάνατον ἔϲται τὸ θνητόν, ἀλλ᾿ ὡϲ ϲυμπτώματί τινι καὶ πάθει· ἡ γὰρ αὐτὴ ζωὴ παθοῦϲα ἀθαναϲία ἐϲτίν. εἰ δὲ πάθουϲ αἰτία ἡ ζωὴ ἀθαναϲία γίνεται, εἴη ἂν πάθοϲ ἡ ζωὴ τῆϲ ἀθαναϲίαϲ. εἰ οὖν τοῦ πάθουϲ τοῦ ἰδίου τὸ πεπονθὸϲ οὐκ ἔϲτι γένοϲ (ϲύμπτωμά τι γὰρ καὶ ϲυμβεβηκὸϲ τὸ πάθοϲ τοῦ πεπονθότοϲ, ἀλλ᾿ οὐκ εἶδοϲ), οὐδ᾿ ἂν τῆϲ ἀθαναϲίαϲ γένοϲ εἴη ἡ ζωή· οὐδὲ γὰρ γλυ- Phil.